# Συναξάριον.

Τῇ ϛ΄ τοῦ αὐτοῦ μηνός, Ἀνάμνησις τῆς θείας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

## Στίχοι.

Θαβὼρ ὑπὲρ πᾶν γῆς ἐδοξάσθη μέρος,
Ἰδὸν Θεοῦ λάμψασαν ἐν δόξῃ φύσιν.

Μορφὴν ἀνδρομένην κατὰ ἕκτην Χριστὸς ἀμεῖψε.

Τῇ ἕκτη τοῦ Αὐγούστου μηνός, τὴν ἀνάμνησιν τῆς θείας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ Ἁγία τοῦ Θεοῦ Ἐκκλησία περιχαρῶς ἑορτάζει. Ἡ δὲ ὑπόθεσις ἐστὶν αὕτη (*). Ἐπειδὴ πολλὰ περὶ κινδύνων ὁ Χριστὸς διελέχθη πρὸς τοὺς Μαθητάς, καὶ θανάτου, καὶ τοῦ πάθους αὐτοῦ, καὶ τῆς τῶν Μαθητῶν αὐτοῦ σφαγῆς· καὶ τὰ μὲν ἦν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χερσί, τὰ δὲ ἀγαθὰ ἐν ἐλπίσι· βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι, τίς ποτε ἐστὶν ἡ δόξα ἐκείνη, μεθ' ἧς μέλλει παραγενέσθαι, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς· καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες αὐτῷ.

Παραλαμβάνει δὲ τῶν ἄλλων τοὺς τρεῖς μόνους, ὡς ὑπερέχοντας· ὁ μὲν γὰρ Πέτρος, ἐκ τοῦ σφόδρα φιλεῖν αὐτόν· ὁ δὲ Ἰωάννης, ἐκ τοῦ σφόδρα φιλεῖσθαι· ὁ δὲ Ἰάκωβος, ἐκ τοῦ δύνασθαι πιεῖν τὸ ποτήριον, ὅ περ καὶ ὁ Κύριος ἔπιε. Μωϋσῆν δὲ καὶ Ἠλίαν εἰς μέσον παράγει, τὰς οὐκ ὀρθὰς ὑπονοίας τὰς εἰς αὐτὸν παρὰ τοῖς πολλοῖς γινομένας διορθούμενος. Ἐπειδὴ γάρ τινες μὲν αὐτὸν Ἠλίαν ἔλεγον, ἄλλοι δὲ Ἱερεμίαν, διὰ τοῦτο τοὺς Κορυφαίους ἄγει, ἵνα τὸ μέσον ἐντεῦθεν ἴδωσι τοῦ δούλου καὶ τοῦ Δεσπότου· καὶ ἵνα μάθωσιν, ὅτι καὶ θανάτου καὶ ζωῆς αὐτός ἐστιν ὁ ἔχων πᾶσαν τὴν ἐξουσίαν.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Ἀργία, καὶ ἰχθύος κατάλυσις.

### Ἀπολυτίκιον. Ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ Ὄρει, Χριστὲ ὁ Θεός, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο. Λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς, τὸ φῶς σου τὸ ἀΐδιον, πρεσβείαις τῆς Θεοτόκου· Φωτοδότα, δόξα σοι.

### Κοντάκιον. Ἦχος ὁ αὐτός.

Ἐπὶ τοῦ Ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεός, ἐθεάσαντο· ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Από το Μηναίου του Αυγούστου και το Μέγα Ωρολόγιο της Αποστολικής Διακονίας της Εκκλησίας της Ελλάδος